28 Οκτωβρίου 2024

# Αγία Σκέπη της Υπεραγίας Θεοτόκου εν Βλαχερνώ και επέτειος του «ΟΧΙ»

/ Συναξαριακές Μορφές

Image not found or type unknown




*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*

Εορτάζει στις 28 Οκτωβρίου εκάστου έτους.

Σκέπη σου, Αγνή, σκέπεις και περιθάλπεις

Τους πίστει αφορώντας προς σε, Παρθένε.
Μητρὸς Θεοίο Σκέπη Ελλάδα θειόφρονα καλύπτει.

Η Αγία Σκέπη της Υπεραγίας Θεοτόκου εν Βλαχερνώ εορτάζει την 1η Οκτωβρίου όπου και το βιογραφικό σημείωμα. Η Εκκλησία της Ελλάδος όμως, την έχει μεταθέσει στις 28 Οκτωβρίου, όπου η Ελλάδα γιορτάζει το μεγάλο γεγονός της διασώσεως και απελευθερώσεως της από τον Ιταλογερμανικό ζυγό. Την Ακολουθία που ψάλλεται αυτή την ημέρα την έγραψε ο Αγιορείτης Μοναχός Γεράσιμος Μικραγιαννανίτης και εγκρίθηκε από την Ιερά Σύνοδο της Εκκλησίας της Ελλάδος στις 21 Οκτωβρίου 1952 μ.Χ. όπου και αποφασίστηκε ο συνεορτασμός της εορτής της Αγίας Σκέπης και της Εθνικής επετείου του «ΟΧΙ» (Συνοδικές Εγκύκλιοι, Τόμος Β', Αθήνα 1956, σελ. 649).

Σύμφωνα με το συναξάρι, «Τῇ Α' τοῦ αὐτοῦ μηνός, τὴν ἀνάμνησιν ἑορτάζομεν τῆς ἁγίας Σκέπης τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, ἤτοι τοῦ ἱεροῦ αὐτῆς Μαφορίου τοῦ ἐν τῇ σορῷ τοῦ Ἱεροῦ Ναοῦ τῶν Βλαχερνῶν, ὅτε ὁ ὅσιος Ἀνδρέας, ὁ διὰ Χριστὸν σαλός, κατεῖδε ἐφηπλωμένην αὐτὴν ἄνωθεν, καὶ πάντας εὐσεβεῖς περισκέπουσαν».

**Ἀπολυτίκιον (Κατέβασμα)**
Ἦχος α'. Τῆς ἐρήμου πολίτης.
Τῆς Σκέπης σου Παρθένε, ἀνυμνοῦμεν τάς χαρίτας, ἣν ὡς φωτοφόρον νεφέλην, ἐφαπλοῖς ὑπὲρ ἔννοιαν, καὶ σκέπεις τὸν λαόν σου νοερῶς, ἐκ πάσης τῶν ἐχθρῶν ἐπιβουλῆς. Σὲ γὰρ σκέπην καὶ προστάτιν καὶ βοηθόν, κεκτήμεθα βοῶντές σοι· Δόξα τοῖς μεγαλείοις σου Ἁγνή, δόξα τῇ θείᾳ Σκέπῃ σου, δόξα τῇ πρὸς ἡμᾶς σου, προμηθείᾳ Ἄχραντε.

**Ἕτερον Ἀπολυτίκιον**
Ἦχος πλ. δ'. Θεοτόκε Ἀειπάρθενε.
Θεοτόκε Ἀειπάρθενε, τὴν ἁγίαν σοῦ Σκέπην, δι' ἧς περισκέπεις, τοὺς εἰς σὲ ἐλπίζοντας, κραταιὰν τῷ Ἔθνει σου καταφυγὴν ἐδωρήσω· ὅτι ὡς πάλαι καὶ νῦν θαυμαστῶς ἡμᾶς ἔσωσας, ὡς νοητὴ νεφέλη, τὸν σὸν λαὸν περιβαλοῦσα. Διὸ δυσωποῦμεν σε, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Κοντάκιον**
Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.
Ὥσπερ νεφέλη ἀγλαῶς ἐπισκιάζουσα, τῆς Ἐκκλησίας τὰ πληρώματα Πανάχραντε, ἐν τῇ πόλει πάλαι ὤφθης τῇ Βασιλίδι. Ἀλλ' ὡς σκέπη τοῦ λαοῦ σου καὶ ὑπέρμαχος, περισκέπασον ἡμᾶς ἐκ πάσης θλίψεως, τοὺς κραυγάζοντας· Χαῖρε Σκέπη ὁλόφωτε.

**Ὁ Οἶκος**
Ἄνωθεν ἐφαπλοῦσα, τὴν ἁγίαν σοῦ Σκέπην, Παρθένε Θεοτόκε Μαρία, σκέπεις καὶ

σῴζεις τὸν σὸν λαόν, καθ’ ὥραν σε Ἁγνὴ ἐπιβοώμενον· νῦν δὲ σου τὰ θαυμάσια, εὐγνωμόνως ὑμνεῖ κραυγάζων·

Χαῖρε τοῦ κόσμου ἡ Σωτηρία
Χαῖρε Ἑλλάδος ἡ προστασία.
Χαῖρε τῶν Ἀγγέλων παράδοξον θέαμα
Χαῖρε τῶν ἀνθρώπων ἀκλόνητον ἔρεισμα.
Χαῖρε Μήτηρ Ἀειπάρθενος τοῦ Παντάνακτος Χριστοῦ
Χαῖρε σκέπη καὶ ἀντίληψις τοῦ λαοῦ σου τοῦ πιστοῦ.
Χαῖρε ὅτι ἐφάνης σκέπουσα τὸ σὸν Ἔθνος
Χαῖρε ὅτι παρέχεις νίκας τῷ στρατοπέδῳ.
Χαῖρε πηγὴ πλουσίας χρηστότητος
Χαῖρε λαμπὰς Θεοῦ ἀγαθότητος.
Χαῖρε δι’ ἧς τοὺς ἐχθροὺς ἐκνικῶμεν
Χαῖρε πρὸς ἣν καθ’ ἑκάστην βοῶμεν·
Χαῖρε Σκέπη ὁλόφωτε.

**Οπτικοακουστικό Υλικό**

Ακούστε το απολυτίκιο!

**Αγιογραφίες / Φωτογραφίες**



*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*




*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*



*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*



*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*




*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*




*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*




*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*




*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*



*Αγία Σκέπη της Υπεραγίας Θεοτόκου*

**Πηγή:** saint.gr